# TEZAUR LITURGIC

## 26 NOIEMBRIE
## SF.NICHIFOR DE LA HIOS

# SLUJBA SF.MUCENIC GHEORGHE DE LA HIOS

HIAKON LIMONARION
ATENA,1930


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 26 ΝΟΕΜΒΡΙΟΥ

# ΓΕΩΡΓΙΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ ΤΟΥ ΕΝ ΧΙΩ ΚΑΙ ΕΝ ΚΥΔΩΝΙΑΙΣ ΜΑΡΤΥΡΗΣΑΝΤΟΣ

# ΑΚΟΛΟΥΘΙΑ

## ΠΟΙΗΜΑ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΧΙΟΥ

## ΕΣΠΕΡΙΝΟΣ

Προσόμοια. Ήχος α’ . Πανεύφημοι Μάρτυρες.

Η Χίος σε βλάστημα τερπνόν, Αθλητά εξήγαγε, Κυδωνιών δε η πόλις σε, καλώς εξέθρεψε, και ο ουρανός σε, μετά τέλος είληφε, Γεώργιε τρισμάκαρ αθλήσαντα, και την θανέννιμον, εκτμηθέντα ξίφει κάραν σου, ως ωραίον καρπόν και ακήρατον. (Δις)

Γεώργιε Μάρτυς του Χριστού, εν ωδαίς των άθλων σου, και των αγώνων γεραίρομεν, το κλέος ένδοξε, ους ανδρειοφόνως, και γενναίως ήνεγκας, ως πρέσβυν προς Θεόν κεκτημένοι σε, ον καθικέτευε, δωρηθήναι ταις ψυχαίς ημών, την ειρήνην, και το μέγα έλεος. (Δις)

Του ζην το θανείν υπέρ Χριστού, νουνεχώς προέκρινας, θεόφρον Μάρτυς Γεώργιε, δι ο γηθόμενος, προς τους εκζητούντας, συλλαβείν εις θάνατον, σαυτόν εθελουσίως

παρέδωκας, οι ως αρνίον σε, όλως άφωνον απήγαγον, και θανάτω βιαίω κατέκριναν.

Γεώργιε Μάρτυς του Χριστού, την ενεγκαμένην σε, Χίον ευχαίς σου περίσωζε, πάσης κακώσεως, και ην των αιμάτων σου, ταις ροαίς ηγίασας, πόλιν ανεπηρέαστον φύλαττε, ανευφημούσάν σε, και πιστών άπαν το πλήρωμα, σαις πρεσβείαις συντήρει απήμαντον.

Δόξα. Ήχος πλ. δ' .

Την ετήσιον μνήμην σήμερον, του Νεομάρτυρος Γεωργίου, πνευματικοίς άσμασιν ευφημήσωμεν πιστοί, γενναίως γαρ αγωνισάμενος, και τον δρόμον τελέσας του μαρτυρίου δι' αίματος, Χριστώ προσήχθης ως ιερόν ολοκάρπωμα, ω και νυν εν δόξη μαρτυρική παριστάμενος, πρεσβεύει υπέρ των ψυχών ημών.

Και νυν. Θεοτοκίον.

Ο Βασιλεύς των Ουρανών...

Είσοδος. Φως Ιλαρόν. Το Προκείμενον της ημέρας και τα Αναγνώσματα.

Προφητείας Ησαΐου το Ανάγνωσμα. (μγ΄ 9-14).

Τάδε λέγει Κύριος. Πάντα τα έθνη συνήχθησαν άμα, και συναχθήσονται άρχοντες εξ αυτών. Τις αναγγελεί ταύτα εν

αυτοίς; η τα εξ αρχής, τις ακουστά ποιήσει υμίν; Αγαγέτωσαν τους μάρτυρας αυτών και δικαιωθήτωσαν, και ειπάτωσαν αληθή. Γίνεσθέ μοι μάρτυρες, και εγώ μάρτυς Κύριος ο Θεός, και ο παις, ον εξελεξάμην· ίνα γνώτε, και πιστεύσητε, και συνήτε, ότι εγώ ειμι. Έμπροσθέν μου ουκ εγένετο άλλος Θεός, και μετ ἐμὲ ουκ έσται. Εγώ ειμι ο Θεός, και ουκ έστι πάρεξ εμού ο σώζων. Εγώ ανήγγειλα και έσωσα, ωνείδισα, και ουκ ην εν υμίν αλλότριος. Υμείς εμοί μάρτυρες, και εγώ Κύριος ο Θεός· ότι απ αρχής εγώ ειμι, και ουκ έστιν ο εκ των χειρών μου εξαιρούμενος. Ποιήσω, και τις αποστρέψει αυτό; Ούτω λέγει Κύριος ο Θεός, ο λυτρούμενος ημάς, ο Άγιος Ισραήλ.

Σοφίας Σολομώντος το Ανάγνωσμα. (γ΄ 1-9).

Δικαίων ψυχαί εν χειρί Θεού, και ου μη άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι, και ελογίσθη κάκωσις η έξοδος αυτών, και η αφ ἡμῶν πορεία σύντριμμα· οι δε εισιν εν ειρήνη. Και γαρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Και ολίγα παιδευθέντες, μεγάλα ευεργετηθήσονται· ότι ο Θεός επείρασεν αυτούς, και εύρεν αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω

εδοκίμασεν αυτούς, και ως ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. Και εν καιρώ επισκοπής αυτών αναλάμψουσι, και ως σπινθήρες εν καλάμη διαδραμούνται. Κρινούσιν έθνη, και κρατήσουσι λαών, και βασιλεύσει αυτών Κύριος εις τους αιώνας. Οι πεποιθότες επ αὐτόν, συνήσουσιν αλήθειαν, και οι πιστοί εν αγάπη προσμενούσιν αυτώ· ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Σοφίας Σολομώντος το Ανάγνωσμα. (ε΄ 15-23, στ΄ 1-3).

Δίκαιοι εις τον αιώνα ζώσι, και εν Κυρίω ο μισθός αυτών, και η φροντίς αυτών παρά Υψίστω. Δια τούτο λήψονται το βασίλειον της ευπρεπείας, και το διάδημα του κάλλους εκ χειρός Κυρίου· ότι τη δεξιά αυτού σκεπάσει αυτούς, και τω βραχίονι υπερασπιεί αυτών. Λήψεται πανοπλίαν τον ζήλον αυτού και οπλοποιήσει την κτίσιν εις άμυναν εχθρών. Ενδύσεται θώρακα δικαιοσύνην και περιθήσεται κόρυθα κρίσιν ανυπόκριτον. Λήψεται ασπίδα ακαταμάχητον, οσιότητα· οξυνεί δε απότομον οργήν εις ρομφαίαν. Συνεκπολεμήσει αυτώ ο κόσμος επί τους παράφρονας· πορεύσονται εύστοχοι βολίδες αστραπών, και ως από ευκύκλου τόξου, των νεφών, επί σκοπόν αλούνται, και εκ

πετροβόλου θυμού πλήρεις ριφήσονται χάλαζαι. Αγανακτήσει κατ αὐτών ὑδωρ θαλάσσης· ποταμοί δε συγκλύσουσιν αποτόμως. Αντιστήσεται αυτοίς πνεύμα δυνάμεως, και ως λαίλαψ εκλικμήσει αυτούς, και ερημώσει πάσαν την γην ανομία, και η κακοπραγία περιτρέψει θρόνους δυναστών. Ακούσατε ουν, Βασιλείς, και σύνετε· μάθετε Δικασταί περάτων γης· ενωτίσασθε οι κρατούντες πλήθους, και γεγαυρωμένοι επί όχλοις εθνών· ότι εδόθη παρά Κυρίου η κράτησις υμίν, και η δυναστεία παρά Υψίστου.

Εις την Λιτήν. Στιχηρά Ιδιόμελα. Ήχος α’ .

Φαιδρύνεται λαμπρώς, Χίος η πατρίς σου και κώμη η των Κυδωνίων, επί τη ση μνήμη, Νεομάρτυς Γεώργιε, της μεν γαρ πολίτης εγένου, της δε πολιούχος ήδη κατέστης και φρουρός, αλλά και πάσα η των πιστών Εκκλησία αγάλλεται, νέον σε πρέσβυν προς Θεόν κτησαμένη, ην εν ειρήνη και ευσεβειά ταις προς αυτόν ευπροσδέκτοις ικεσίαις σου διαφύλαττε.

Δόξα. Ήχος πλ. α’ .

Δεύτε φιλοθέων ομήγυρις, δεύτε γηθοσύνως συνδράμωμεν, δεύτε και κοσμήσομεν άσμασι την Εκκλησίαν, επί τη

μνήμη Γεωργίου του νεοφανούς Αθλητού σήμερον γαρ ουρανών ανοιγέντων, εισέρχεται εν δόξη, και μετά παρρησίας τω ποθουμένω Χριστώ παρίσταται. Και ο εν γη νομίμως αθλήσας, και στερρώς αγωνισάμενος, ακηράτω στέφει εν ουρανώ, παρά του Στεφοδότου καταστέφεται και των αγώνων αυτού, μετ' ευλαβείας βοήσωμεν· μη επιλάθη Άγιε, των πιστώς επιτελούντων, την αεισέβαστον μνήμην σου.

Και νυν. Θεοτοκίον.

Μακαρίζομέν Σε...

Εις τον στίχον. Ήχος πλ. δ' . Ω του παραδόξου θαύματος!

Νέε Αθλητά Γεώργιε, συ αληθώς ευγενές, ανεδείχθης γεώργιον, του Αγίου Πνεύματος, τους αυτού γαρ αοίδιμε, έφυσας όντως, καρπούς τοις άθλοις σου, και καταρδεύσας ρείθροις αιμάτων σου, θείως διέθρεψας, και αφθάρτοις έθηκας εν ουρανώ, θήκαις και συνέκλεισας, δι' ο υμνούμέν σε.

Στ.: Θαυμαστός ο Θεός εν τοις Αγίοις Αυτού...

Γόνος της Χίου και βλάστημα, υπάρχων Μάρτυς Χριστού, κατά σάρκα Γεώργιε, νυν υιός γεγένησαι, κατά χάριν αοίδιμε, του προανάρχου Πατρός και σύγκληρος, του

συνανάρχου Υιού ως μέτοχος, και κοινωνός Αυτού, των παθών και σύμμορφος όνπερ ημίν, συν Πατρί και Πνεύματι, ίλεων έργασαι.

Στ.: Τοις Αγίοις τοις εν τη γη Αυτού εθαυμάστωσεν ο Κύριος...

Χριστώ συνών και συζών αεί, και συν Αυτώ υπέρ νουν, εν μεθέξει θεούμενος και συνδοξαζόμενος, των τιμώντων σε μέμνησο, και εκτελούντων πόθω την μνήμην σου,και ευφημούντων, τους θείους άθλους σου, και προσκυνούντων σου, πίστει το εκτύπωμα το της μορφής, και τα θεία λείψανα Μάρτυς Γεώργιε.

Δόξα. Ήχος γ' .

Έδοξας εν οφθαλμοίς αφρόνως τεθνάναι Γεώργιε, και η έξοδός σου εκ της προσκαίρου ζωής, κάκωσις αυτοίς ελογίσθη, αλλά ζης εν Χριστώ την μακαρίαν και ειρηναίαν ζωήν, συν τοις Αγγέλοις και τοις απ' αιώνος Αγίοις ευφραινόμενος. Μέθ' ων μη παύση πρεσβεύων, υπέρ ειρήνης του κόσμου, και σωτηρίας των ψυχών ημών.

Και νυν. Θεοτοκίον.

Νυν απολύεις. Τρισάγιον.

Απολυτίκιον. Ήχος δ' .

Ο Μάρτυς Γεώργιε ξίφει την κάραν τμηθείς, θεόθεν δεδόξασται, εν ουρανώ και εν γη, της του Χίου το σέμνωμα, άνω γαρ αφθαρσίας στέφει θείω εστέφθη, κάτω δε θείοις ύμνοις, παρ' ανθρώπων υμνείται αυτού ταις ικεσίαις Χριστέ ο Θεός, σώσον τας ψυχάς ημών. Απόλυσις.

**ΟΡΘΡΟΣ**

Μετά την α' στιχολογίαν, κάθισμα.

Ήχος α' . Τον τάφον Σου Σωτήρ.

Τον νέον αθλητήν, και λαμπρόν αριστέα, υμνήσωμεν πιστοί, εν ωδαίς ετησίοις, Γεώργιον τον ένδοξον, το της Χίου καλλώπισμα, ως αθλήσαντα, και των δαιμόνων τα στίφη, εκνικήσαντα, τη του Σταυρού πανοπλία, και ρώμη και χάριτι.

Δόξα. Και νυν. Θεοτοκίον.

Μαρία το σεπτόν...

Μετά την β' στιχολογίαν, κάθισμα.

Ήχος δ' . Επεφάνης σήμερον.

Ελαμπρύνθης άθλοις σου, και ηγιάσθη, τη εκχύσει Άγιε, αιμάτων σου των ιερών, Κυδωνιέων ο σύλλογος, και την σην κόνιν, κατέχων δοξάζει σε.

Δόξα. Και νυν. Θεοτοκίον.

Επληγώθην πάθεσιν, ιάτρευσόν με, εν κακοίς απόλλυμαι, σώσόν με Δέσποινα Αγνή, η τον Σωτήρα κυήσασα, και Ιατήρα, του κόσμου Θεόνυμφε.

Μετά την γ' στιχολογίαν, κάθισμα.

Ήχος γ' . Την ωραιότητα.

Λαμπρώς το πνεύμά σου, Χριστός εδέξατο, Μάρτυς Γεώργιε, όνπερ τοις άθλοις σου, εδόξασας επί της γης, κηρύξας Θεόν των όλων, δυσσεβών ενώπιον, σαρκωθέντα βουλήματι, και λαμπρώς εδόξασεν, εν τοις θείοις σκηνώμασιν, εν δόξη αφράστω και αλήκτω, συντάξας Μαρτύρων τη χορεία.

Δόξα. Και νυν. Θεοτοκίον.

Την ωραιότητα...

Ο Κανών του Αγίου.

Ωδή α' . Ήχος α' . Ωδήν επινίκιον.

Φωτί παριστάμενος τω ανεσπέρω, το σκότος απέλασον, το της διανοίας μου, λαμπρότατε Αθλητά, του ανυμνήσαι, εν ωδαίς την θείαν μνήμην σου.

Η Χίος σε βλάστημα και θείον άνθος, τερπνόν και πανεύοσμον, Αθλητά Γεώργιε, εξήνεγκεν ευκλεώς, αλλ' εναθλήσας εκ της γης, Χριστός εδρέψατο.

Εχθρός ο αρχέκακος υποσκελίσας, εις βόθρον κατέρραξεν, όντα νηπιόφρονα, αλλ' ανδρειωθείς ταις φρεσίν εις ύψος ήρθης, Αθλητά θείας αθλήσεως.

Θεοτοκίον.

Ακτίσι Θεόνυμφε των πρεσβειών Σου, αχλύν διασκέδασον, του νοός μου Άχραντε, του ασμασιν ιεροίς, ανευφημείν διηνεκώς, τα μεγαλειά σου.

Ωδή γ' . Στερεωθήτω η καρδία μου.

Την των ηθών σου σεμνοπρέπειαν, λόγου τε και έργου παντός Αθλητά, Κυδωνιέων ο λαός, ευφημεί ο χριστώνυμος, και ψυχής την γενναιότητα υμνεί και δοξάζει σε.

Νομίμως ήθλησας Γεώργιε, και στεφάνω δόξης εστέφθης λαμπρώς, ακούσας γαρ την κατά σου, γενομένην μακάριε, προδοσίαν την προς θάνατον, ουδόλως εμάκρυνας.

Εθελουσίως δε στερρόψυχε, φέρων τοις ζητούσι παρέσχες σαυτόν, και απαχθείς τω δικαστή, θαρσαλαίως εκήρυξας, την πίστιν την ένθεον Χριστού του Θεού ημών.

Θεοτοκίον.

Ίνα θεώση το ανθρώπινον, άνθρωπος εκ Σου της Αγνής ο Θεός, γέγονεν ον ο ευκλεής Αθλοφόρος εδόξασε, και Σε πάσιν ανεκήρυξε Μητέρα απείρανδρον.

Κάθισμα. Ήχος δ' . Ταχύ προκατάλαβε.

Η εύσημος μνήμη σου Μάρτυς Χριστού του Θεού, Γεώργιε ένδοξε, εις ευφημίαν των σων, αγώνων συνήγαγεν, άπαν πιστών το πλήθος, ους φρουρών μη ελλείπης, ρύου παντός κινδύνου, και παντοίας ανάγκης, ταις σαις προς τον Θεόν ιεραίς παρακλήσεσιν.

Δόξα. Και νυν. Θεοτοκίον.

Ταχύ προκατάλαβε...

Ωδή δ' . Εν πνεύματι προβλέπων.

Απτόητος παρέστης ανόμω δικαστή, και την σην εκήρυξας ευσέβειαν τρανώς, και μη θωπείαις, υπείξας ταις παρ' εκείνου, ειρκτή παμμάκαρ, εμβληθήναι κατεκρίθης, εν η τον Θεόν εμεγάλυνας.

Ημέραις επί πλείσταις εμμένων τη ειρκτή, τον Θεόν εδόξαζες εξ όλης της ψυχής, και της καρδίας τρισμάκαρ και διανοίας, και μετά πόθου ασιγήτως ανεβόας, δόξα τη δυνάμει Σου Κύριε.

Σατάν τους ψυχοφθόρους θεόφρον λογισμούς, μακράν απεσόβησεν η θεία από σου, ευχαριστία Γεώργιε των πανσέπτων, και ουρανίων μυστηρίων του Σωτήρος, τούτων ευλαβώς μετασχόντων σου.

Θεοτοκίον.

Υμνούμέν Σε Παρθένε Θεόνυμφε Αγνή, ως Θεογεννήτριαν και τείχος των πιστών, Συ γαρ την φύσιν ανέστησας την πεσούσαν, και την εικόνα ανανέωσας τεκούσα, μόνη τον προόντα Θεόν του Αδάμ.

Ωδή ε' . Την σην ειρήνην δος ημίν.

Ισχύν εξ ύψους κατελθείν πιστών ο λαός, ήτει καθ' εκάστην ευχαίς και δεήσεσι, τη ση καρδία παναοίδιμε, ην και λαβών θεόθεν, ενήθλησας γενναίως.

Ισχύν σε Μάρτυς άνωθεν Χριστός ο Θεός, κραταιάν αθλούντα αξίως ενέδυσεν, ο της σαρκός ειδώς το άτονον, όθεν εναθλήσας, ήρας τρόπαια νίκης.

Την σην ανδρείαν ένδοξε Αγγέλων πληθύς, άνωθεν ορώσα ετέρπετο άπασα, και δήμος κάτω ο χριστώνυμος, των Κυδωνιέων εκρότει σοι τας χείρας.

Θεοτοκίον.

Σε μόνην καταφύγιον πλουτούμεν Αγνή, πάντες οι Θεόν κακώς παροργίσαντες, και αμαρτίας βαρυνόμενοι, όπως ταις σαις πρεσβείαις Αυτώ ιλεωθώμεν.

Ωδή στ᾽ . Τον Προφήτην Ιωνάν.

Τη μαχαίρα εν χαρά, Αθλητά πνευματική, την τιμίαν κεφαλήν, και αυχένα τον σεπτόν, υπέκλινας, αποτμηθείς δε Χριστώ προσήνεξαι.

Ώσπερ άμωμος αμνός, ώσπερ θύμα λογικόν, ιερείον ως τερπνόν, προσηνέχθης τη Χριστού, Γεώργιε, επουρανίω τραπέζη ένδοξε.

Αλγηδόνας τας φρικτάς, υπομείνας ανδρικώς, του δημίου απηνώς, τέμνοντός σου Αθλητά, τον πάνσεπτον, αυχένα θύμα Θεώ προσήνεξαι.

Θεοτοκίον.

Μετά τόκον Σε Αγνή, ως προ τόκου Μαριάμ, τη δυνάμει του εκ Σου, σαρκωθέντος Ιησού, Γεώργιος, ο Νεομάρτυς, τρανώς εκήρυξεν.

Κοντάκιον. Ήχος β᾽ . Τα άνω ζητών.

Ως φίλον σε Χριστού, και Μάρτυρα δοξάζομεν, αιτούμενοι θερμώς, την θείαν σου αντίληψιν, Αθλητά Γεώργιε, ην

παράσχοις ημίν τοις οικέταις σου, τοις καταφεύγουσι προς σε, ρυόμενος δεινώς των συνεχόντων ημάς.

Ο Οίκος.

Δεύτε αγαλλιασώμεθα τω Κυρίω, εν τη μνήμη σήμερον του Νεομάρτυρος και γενναιόφρονος Γεωργίου του Χιοπολίτου, και τω νικοποιώ Χριστώ ύμνον επινίκιον άσωμεν, τω ενισχύσαντι αυτόν αθλήσαι, και νικητήν των ορατών και αοράτων εχθρών αναδείξαντι, και ως φίλον εαυτού και Μάρτυρα δοξάσαντι, και τη αυτού μαρτυρική μεσιτεία ρυομένω δεινών των συνεχόντων ημάς.

Συναξάριον.

Τη κστ´ του αυτού μηνός, ο Άγιος Νεομάρτυς Γεώργιος, ο εκ Χίου και εν Κυδωνιαίς αθλήσας κατά το 1807, ξίφει τελειούται.

Στίχοι:

Γεωργίω μαχαίρα πρόξενον τέλους, Αύτη δε τούτω πρόξενος και του στέφους. Γεωργίου εκκαιεικάδι τάμεν αυχένα χαλκός.

Ωδή ζ’ . Η κάμινος Σωτήρ.

Τον μαρτυρίου δρόμον διήνυσας, γενναίως Αθλοφόρε Γεώργιε, αποτμηθείς εν χαρά, την ιεράν κεφαλήν.

Πορφύραν εξ οικείων ενδέδυσαι αιμάτων Νεομάρτυς Γεώργιε, μεθ’ ης παρέστης λαμπρώς, εν ουρανώ τω Χριστώ.

Μαρτύρων η χορεία εδέξατο, προσθήκην σε λαμπράν αξιάγαστε, μεθ’ ης Χριστώ μελωδείς, ευλογητός ο θεός.

Θεοτοκίον.

Ελπίς Χριστιανών ακαταίσχυντε, τους ως Θεού Μητέρα τιμώντάς σε, ικέτευε ρυσθήναι, από παντοίων δεινών.

Ωδή η’ . Ον φρίττουσιν Άγγελοι.

Εχθρόν τον αλάστορα, δυνάμει του Χριστού, νικήσας Γεώργιε, και τρόπαια λαμπρά, κατ’ αυτού εγείρας, ως λαμπρός αριστεύς, θεόθεν εκομίσω, διάδημα του κάλους.

Της Χίου τον όρπηκα το πλάτος ουρανού, και γη των πραέων νυν, εδέξατο λαμπρώς, και η θεία δρόσος ευθαλή συντηρεί, τον εν Αθλοφόροις Γεώργιον τον Νέον.

Τρυφής ο χειμάρρους σε, ως δένδρον ουρανού, παμμάκαρ Γεώργιε ποτίζει νοητώς, και οι εν τω κόσμω, των χαρίτων των σων, της οσμής πληρούνται τελούντες την μνήμην.

Θεοτοκίον.

Το μέγα μυστήριον του Τόκου Σου Αγνή, ο Χίος Γεώργιος εκήρυξε τρανώς, και της αληθείας, των αιμάτων αυτού, τη βαφή ευθίκτως υπέγραψε το κύρος.

Ωδή θ’ . Την φωτοφόρον νεφέλην.

Κυδωνιέων η πόλις, θεοστεφή αριστέα, ιδούσα όμμασιν αυτής, σε Γεώργιε μάκαρ, αγωνισάμενον στερρώς, και νίκην αράμενον ηγάσατο, και τελεί εξ εκείνου την σην μνήμην, ετησίως εν ωδαίς.

Μετά των άνω ταγμάτων, Μάρτυς Γεώργιε θείε, μετά Μαρτύρων ιερών, Προφητών Αποστόλων, Οσίων και Ιεραρχών, Θεώ παριστάμενος ικέτευε, εκ παντοίων κινδύνων λυτρωθήναι, τους τιμώντάς σε πιστώς.

Τω εν ωδαίς εφυμνίοις, κατακοσμήσαντι πόθω, την μνήμην σου την ιεράν, και φαιδράν Αθλοφόρε, όλος χαρίης και φαιδρός προστάτης παράσταθι Γεώργιε, εν καιρώ της εξόδου και της δίκης, της εσχάτης και φρικτής.

Θεοτοκίον.

Συν τη Αχράντω Παρθένω, τη φωτοφόρω νεφέλη, αίγλη φωτός του νοητού, τας ψυχάς ελαμφθήναι, των ανυμνούντων σου πιστώε, τους άθλους και χύσιν των αιμάτων σου, Αθλοφόρε Γεώργιε δυσώπει, τον των όλων Ποιητήν.

Εξαποστειλάριον. Γυναίκες ακουτίσθητε.

Η Χίος η φιλόχριστος, τα σπάργανα κατέχουσα, τα σα Γεώργιε χαίρει, και εκτελεί σου την μνήμην, τα δε σεπτά σου λείψανα, λαός ο χριστεπώνυμος, Κυδωνιών κραυγάζει σοι, συ μου φρουρός τε και φύλαξ, και προς Θεόν πρέσβυς θείος.

Θεοτοκίον.

Προφήται προεκήρυξαν, Απόστολοι εδίδαξαν, και Μάρτυρες θεοφρόνως, τον σον Υιόν Θεοτόκε, τρανώς καθομολόγησαν, Θεόν τον όλων Πάναγνε, μεθ’ ων και ο ημέτερος Γεώργιος ο γενναίος, εδ 0οξασεν εναθλήσας.

Εις τους αίνους. Ήχος α’ . Των ουρανίων ταγμάτων.

Συνωνυμήσας τω πάλαι Μεγαλομάρτυρι, Γεώργιε τρισμάκαρ, Αθλητά γενναιόφρον, ενήθλησας νομίμως υπέρ Χριστού, εκ ψυχής γενναιότητι, αποσκυπών των βασάνων τας αμοιβάς, και τα γέρα της αθλήσεως. (Δις).

Της αρχιφώτου Τριάδος νυν ελλαμπόμενος, ταις νοηταίς ακτίσι, Νεομάρτυς Κυρίου, Γεώργιε δυσώπει υπέρ ημών, των εκ πόθου τελούντων σου, την αεισέβαστον μνήμην, και εν ωδαίς ευφημούντων τους αγώνάς σου.

Τον της αθλήσεως δρόμον, καλώς διήνυσας, αποτμηθείς την κάραν, Αθλοφόρε Κυρίου, λοιπόν απόκειταί σοι εν ουρανώ, ο ακήρατος στέφανος, ον σοι παρέξει Γεώργιε ο Χριστός, εν ημέρα της ετάσεως.

Δόξα. Ήχος β' .

Εν τοις επουρανίοις σκηνώμασι, Γεώργιε Χιοπολίτα Γεώργιε, συν ταις των Αγίων χορείαις, το πνεύμά σου αιωνίως αγάλλεται, λαμπρώς δε και τα πανίερά σου λείψανα,εν τη Κυδωνιών κώμη διατηρούμενα τιμάται, και πανταχού το σεπτόν σου όνομα υμνείται, και δοξάζεται Χριστός, ο δοξάζων τους Αυτόν αντιδοξάζοντας.

Και νυν. Θεοτοκίον.

Την πάσαν ελπίδα μου...

Δοξολογία μεγάλη και Απόλυσις.

Μεγαλυνάρια.

Ένδοξος εν Μάρτυσιν ο κλεινός Γεώργιος ώφθη, τοις αρχαίοις, συ δ' εν τοις νυν, Γεώργιε νέε, ομώνυμε εκείνω, και σύσκηνε δι' ο σε τιμώμεν άπαντες.

Τους μετ' ευλαβείας τα ιερά, λείψανά σου Μάρτυς, προσκυνούντας σαις προς Θεόν, ιεραίς πρεσβείαις φρουρών μη διαλείπης, Νεομαρτύρων κλέος θείε Γεώργιε.